Ἡ δὲ φέροιτ' αὖ πάλιν εἰς τὴν γῆν.
Κᾆτ' ἐξαίφνης
Περὶ τὴν ψωλὴν περιβαίη.

A *Mittas, illa in terram redeat*
*Atque subinde*
*Curtum penem undiq; fraxet.*

Bisetus. Ἐν δεινῷ.] ὁ τῶν γερόντων χορὸς τὴν Κινησίου ὑπὸ τῆς γυναικὸς παρὰ γνώμην καλειφθέντος τύχην, καὶ τὴν ἀπροσδόκητον ἐλπισθείσης συνουσίας ἀποτευξιν οἰκτείρει. τείρει δὲ, Ἀττικῶς, ἀντὶ τοῦ τείρῃ. τείρομαι, καταπονοῦμαι, τιμωροῦμαι. Ποία ψυχή;] τι- B νὲς ἐκ ἀπιθάνως γραπτέον οἴονται, ποία ψωλή; ψωλὴ δὲ, τὸ ἀνδρὸς αἰδοῖον. ὁ νοῦς. διὰ ταύτην συνουσίας ἀνυπόστατον ἐπιθυμίαν, τίς ποτε τοῖς σπασμοῖς, καὶ τετάνοις τοιούτοις, καὶ τοσούτοις, οἵοις ὁ Κινησίας νῦν ὑπὸ τῆς γυναικὸς ψευσθεὶς διαῤῥήγνυται, ῥᾳδίως ἂν ἀντέχοι; τίς οὐ διαῤῥαγείη; ἀντισχεῖν δὲ, ὑπομεῖναι. Σ. Ποία δ' ὀσφύς;] ὀσφὺς, ὁ παρὰ πλευρὸν διάκενος τόπος. Ἡσύχ. ἄλλως. ὀσφὺς, τὰ πλησίως τοῦ γλουτοῦ ἢ ἡ ῥάχις ἢ ἡ ψόα, ὡς μὲν Ἀριστοτέλης ἡ ἴση πρὸς τὰ ἄνω ἐμπεφυκυῖα, ἰσοφύς τις οὖσα. ὡς δὲ Ἀπολλόδωρος, οἱονεὶ ὀστοφυὴς οὖσα. C ὀστώδης γάρ ἐστιν. Σ. Ὄῤῥος.] ὁ λεγόμενος ταῦρος, τὸ μεταξὺ τῶν διδύμων. Σ. παρὰ δὲ τῷ Ἡσυχίῳ, ὄῤῥος ἑρμηνεύεται ἡ τράμις. Καὶ μὴ κινῶν τοὺς ὄρθρους.] τί τοῦτο βούλεται σημαίνειν, οὐ δῆλον. πλὴν κακέμφατόν τι αἰνιγματικῶς νοεῖν φαίνεται. ὄρθρος, ὁ μικρὸν πρὸ τῆς τοῦ ἡλίου φαύσεως καιρός. παρὰ τὸ ὄρω, ὄρσω λεγόμενος, ἢ παρὰ τὸ τοὺς ἀνθρώπους εἰς ἔργα ἐγείρειν, καὶ ὀρθοῦν. αὐτὸς δὲ ὁ καιρὸς τῇ Ἀφροδίτῃ τερπνότατος, καὶ πρὸς τὰς συνουσίας ἐπιτηδειότατος, διὸ καὶ ἐν τοῖς ἑξῆς, ὁ τῶν γερόντων χορὸς τοῖς Ἀθηναίοις λέγει, D

Ἦ που πρὸς ὄρθρον σπασμὸς ὑμᾶς λαμβάνει;

ἴσως οὖν, καὶ νῦν τοὺς ὄρθρους τροπικῶς, καὶ ἀλληγορικῶς ὁ ποιητὴς καλεῖν δοκεῖ, αὐτὰς τὰς γυναῖκας, τὰς περὶ τὸν ὄρθρον κινουμένας. τίς οὖν (φησιν) ἀντίσχοι τούτοις τοῖς σπασμοῖς, καὶ τετάνοις, μὴ ἔχων ὅπου τὴν τῆς ἐπιθυμίας κίνησιν κινεῖν, καὶ ἀσκεῖν δύναιτο. Ἄλλως. ἴσως ἐν τούτῳ παίζει πρὸς καλούμενον ὄρθιον νόμον, ἤγουν τρόπον ἐκεῖνον ᾠδῆς εἰς πόλεμον ἐρεθιστικὸν, αἰνιττόμενος τὴν ὀρθρινὴν ἀφροδισιαστικὴν ἔντευξιν, καὶ συμπλοκήν. περὶ δὲ τῆς τοῦ δὲ τοῦ ὀρθίου νόμου ἐνεργείας, καὶ δυνάμεως, E οὕτω παρὰ τῷ Εὐσταθίῳ γέγραπται. Τιμόθεος οὖν ὄρθιον ᾄσας, τοσούτου τὸν Ἀλέξανδρον ἄρεος ἔπλησεν, ὡς εἰς τὰ ὅπλα εὐθὺς ἐκεῖνον ἀναπηδῆσαι. Καὶ Σουΐδας, ἐν τῷ Τιμόθεος, ταῦτα γράφει. Τιμόθεος γὰρ ὁ αὐλητὴς ἔτι πρόσθεν, ὅν ποτε αὐλοῦντα λέγουσι, τῆς Ἀθηνᾶς τὸν ὄρθιον νόμον ἐπικαλούμενον, ἐς τοσόνδε ἐκπλῆξαι τὸν Ἀλέξανδρον τοῖς μέλεσιν, ὥστε μεταξὺ ἀκούσαντα, ἀναΐξαι ἐπὶ τὰ ὅπλα. τὸν δὲ φάναι, ὅτι τοιαῦτα χρὴ εἶναι, τὰ βασιλικὰ B αὐλήματα. Θωμοὺς] σωροὺς ξύλων. θωμοὶ δὲ λέγονται καὶ οἱ τῶν πυρῶν, καὶ τῶν ἀχύρων σωροί. τυφὼς δὲ, ἡ ἐξ ἀναθυμιάσεως τῆς γῆς συστροφὴ, πρὶν ἐκπυρωθῆναι. Σ. πρηστὴρ δὲ, σφοδρὸς ἄνεμος, πῦρ ἀπ' οὐρανοῦ, ἢ νέφος. ξυγγογγυλίσας δὲ, μεταστρέψας, ξυμμεταστρέψας, ἢ γογγύλης δίκην μεταστρέψας.

CHR. Ποῖος γὰρ ἂν ἢ νέφρος ἀντίσχοι.] Aristoph. Auibus dixit ἢ pro ἔα & in hac fabula, ἢ δεκέτις supra, est autem per synæresin vel crasin vt etiam habes in Vespis, ἆρα δεινὸς ἦ τότε. Sunt au- C tem νεφροὶ Rienes vel Nefrundines, εἰς οὓς νείφεται τὸ οὖρον. Sed & νεφροὶ sunt λογισμοί, ἐπειδὴ τὰς ὑπογαστρείους ὀρέξεις οἱ νεφροὶ διεγείρουσι, ἐντεῦθεν κινοῦνται τῆς ἐπιθυμίας οἱ λογισμοί. Cæterùm ἀντίσχοι est ὑπομεῖναι. Ποῖος δ' ἂν ὄῤῥος] Legerem propter metrum ποῖος δ' ὄῤῥος, Est autem ὄῤῥος, quæ dicitur τράμις vel ταῦρος ὁ μεταξὺ τῶν διδύμων. Et κατατεινόμενος est μακρότητα παρέχων. Καὶ μὴ κινῶν τοὺς ὄρθρους.] Nescio quid sit; Quid si legas καὶ μὴ κινῶν τοὺς ὄρθρους? quasi producant noctes ista vropygia. D Dicitur autem ὄρθρος & ὄρθρον. Reuocabo querelam imperitorum antiquam, Corruptus est locus, quem sanare non est opis meæ præsentis, tantum hoc addam, postea huc fortassis respicere, quod ait πρὸς ὄρθρον σπασμὸς ὑμᾶς λαμβάνει. Ὥσπερ τοὺς θωμοὺς] Acerui sunt lignorum vel spicarum, τυφὼς autem est συστροφὴ ἐξ ἀναθυμιάσεως τῆς γῆς. Hæc apud Sudam reperiuntur, non alia mente quam vt locum hunc exponant. Περὶ τὴν ψωλήν.] Perstat in Metaphora, nam ψωλὸς est titio vel torris: E huc autem adludit cùm ait ψωλήν, est etiam ψωλὸς & ἀπεσκολυμμένος, ὁ λιπόδερμος καὶ περιτετμημένος.

## ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ, Πρόβουλος, Ἀθηναῖος.

Κη. Πᾷ τᾶν Ἀσαναν ἐστιν ἁ γερωχία
Ἢ τοὶ πρυτάνιες; λῶ τι μυθίξαι νέον.
Πρ. Σὺ δ' εἶ τίς; πότερον ἄνθρωπος ἢ Κονίσαλος;
Κη. Κῆρυξ ἐγὼν ὦ κυρσάνιε ναὶ τὼ σιὼ
Ἔμολον ἀπὸ Σπάρτας περὶ τᾶν διαλλαγᾶν.
Πρ. Κᾆπειτα δόρυ δῆθ' ὑπὸ μάλης ἥκεις ἔχων;
Κη. Οὐ τὸν Δί' οὐκ ἔγωγε. Πρ. ποῖ μεταστρέφει;

## F CADVCEATOR LACED. PRObulus, Atheniensis.

*CAD. VBi est Senatus, Principésve qui regunt*
*Hanc vrbem Athenas, rem nouam fari volo.*
*PROB. verùm quis es tu, homóne es an Conissalus*
*CAD. Caduceator, ô puer, sum per deos*
G *Sparta profectus Pacis ergo & fœderum.*
*PR. Hastile, credo, subter axilla ferens.*
*CAD. Minimè, Iouem altum testor. PR. Ecquò verteris?*